Σοὶ ἢ καλῶς βωμοῖσι παρεστάμενος πόσις αἰγῶν,
φοίνιον ἐκ λασίου στήθεος αἷμ' ἐρύγη.

## ΕΙΣ ΠΟΛΕΜΟΝ ΚΑΙ ΕΙΡΗΝΗΝ, κεφ. ξθ.

### ΑΠΟΛΛΩΝΙΔΟΥ.

Σκύλλος ὅτε ξέρξου δολιχὸς στόλος ἑλλάδα πᾶσαν
Ἤλαυνεν, βυθίην εὕρατο ναυμαχίην,
Νηρῆος λαθρίοισιν ὑποπλώσας πελάγεσσι,
Καὶ τὸν ἀπ' ἀγκύρης ὅρμον ἔκειρε νεῶν.
Αὔτανδρος δ' ἐπὶ γῆς ὀλίσθανε περσὶς ἄναυδος
Ὀλλυμένη, πρώτη πεῖρα θεμιστοκλέους.

### ΦΙΛΙΠΠΟΥ.

Οὐκ ἔτι πυργωθεὶς ὁ φαλαγγομάχας ἐπὶ δῆριν
Ἄσχετος ὁρμαίνει μυριόδους ἐλέφας,
Ἀλλὰ φόβῳ στείλας βαθὺν αὐχένα πρὸς ζυγοδέσμους,
Ἄντυγα διφρουλκεῖ καίσαρος οὐρανίου.
Ἔγνω δ' εἰρήνης καὶ θὴρ χάριν, ὄργανα ῥίψας
Ἄρεος εὐνομίης ἀντανάγει πατέρα.

### Ἄδηλον.

Ἄρτεμις ἱδρώουσα, προάγγελός ἐστι κυδοιμοῦ.

## ΕΙΣ ΠΟΛΕΙΣ, κεφ. ο.

### ΕΥΗΝΟΥ εἰς τροίαν.

Ξεῖνοι, τὴν πρόσθεν ἐμὲ πόλιν, Ἴλιον ἱρὴν,
Τὴν πρὶν ἐν πύργοις τείχεσι κληζομένην,

Αἰῶνος